Εὐχή μετά τό Α΄ Ἅγιος ὁ Θεός σύν δικηρίῳ.

Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν, ὁ φύσει Θεός ὑπάρχων, καί διά τήν ἡμῶν σωτηρίαν φύσει γενόμενος ἄνθρωπος, ἔπιδε ἐφ᾽ ἡμᾶς τούς ἐλπίζοντας εἰς σέ, καί ῥῦσαι ἡμᾶς, ὅτι σύ εἶ ὁ σωτήρ καί ῥύστης ἡμῶν.-

Εὐχή μετά τό Β΄ «Ἅγιος ὁ Θεός» σύν τρικηρίῳ.

Τριάς ὑπερούσιε καί ὑπέρθεε, πάτερ ἄναρχε, υἱέ συνάναρχε, καί πνεῦμα συναΐδιον, ἡ μία οὐσία καί δύναμις, ἐπάκουσον ἡμῶν χείλεσιν ἀναξίοις τήν σήν δοξολογούντων Ἁγιότητα, καί σῶσον ἡμᾶς, ὅτι ἐκτός σοῦ ἄλλον Θεόν οὐ γινώσκομεν, καί ἐπί σέ τάς ἐλπίδας ἀναθέμεθα. Ἀμήν. —

Εὐχή πρό τοῦ «Κύριε, κύριε!»

Πάτερ ἄναρχε, παντάγιε, παντοδύναμε, ὁ ἐκ τοῦ μή ὄντος οὐσιώσας τό πᾶν, καί τό γένος τῶν ἀνθρώπων εἰς τό εἶναι παραγαγών

πρὸς δοξολογίαν τῆς σῆς δόξης, ἔπιδε
ἐπὶ τὸν λαόν σου τοῦτον, τὸν περιε-
στῶτα, καὶ τὸ σὸν ἀπεκδεχόμενον ἔ-
λεος. Ἀμήν. —

Πρὸ τοῦ Β΄.

Υἱὲ μονογενές, συνάναρχε τῷ πατρί,
ὁμοούσιε, ὁμοσθενές, ὁ διὰ τὴν ἡμῶν
σωτηρίαν σάρκα φορέσας, καὶ τεθεὶς ὑ-
πὲρ ἡμῶν καὶ ταφείς, καὶ ἀναστάς, ἀνά-
στησον ἡμᾶς, εἰς βάθος κακῶν κατολι-
σθήσαντας, καὶ τῆς τῶν ἀγαπητῶν σου
μερίδος ἡμᾶς καταξίωσον ἐν τῇ βα-
σιλείᾳ τῶν οὐρανῶν. Ἀμήν. —

Πρὸ τοῦ Γ΄.

Πνεῦμα πανάγιον, συνάναρχον τῷ
πατρὶ καὶ τῷ υἱῷ, ὁμοούσιον, ὁμοδύνα-
μον, ἐν ᾧ ζῶμεν καὶ κινούμεθα καὶ

ἐσμέν, παράμεινον ἀγαθέ, ἐλθὲ καὶ
συσκήνωσον ἐν ἡμῖν, κοινωνοὺς τῶν
θείων σου χαρισμάτων ἀπεργαζό-
μενος, καὶ λύσιν τῶν περιεσχηκότων
ἡμᾶς δεινῶν παρεχόμενος. Ἀμήν. —

ΑΡΧΕΙΟ ΟΙΚΟΓΕΝΕΙΑΣ ΛΑΜΠΑΚΗ